Ξο. οὐ· τρέχων ὁ μῦθος ἄν ϲοι τἀμὰ ϲημήνειεν ἄν.
Ιων καὶ τί μοι λέξειϲ; Ξο. πατὴρ ϲόϲ εἰμι καὶ ϲὺ παῖϲ ἐμόϲ.
Ιων τίϲ λέγει τάδ'; Ξο. ὅϲ ϲ' ἔθρεψεν ὄντα Λοξίαϲ ἐμόν.
Ιων μαρτυρεῖϲ ϲαυτῶι. Ξο. τὰ τοῦ θεοῦ γ' ἐκμαθὼν χρηϲτήρια.
Ιων ἐϲφάληϲ αἴνιγμ' ἀκούϲαϲ. Ξο. οὐκ ἄρ' ὄρθ' ἀκούομεν.
Ιων ὁ δὲ λόγοϲ τίϲ ἐϲτι Φοίβου; Ξο. τὸν ϲυναντήϲαντά μοι
Ιων τίνα ϲυνάντηϲιν; Ξο. δόμων τῶνδ' ἐξιόντι τοῦ θεοῦ
Ιων ϲυμφορᾶϲ τίνοϲ κυρῆϲαι; Ξο. παῖδ' ἐμὸν πεφυκέναι.
Ιων ϲὸν γεγῶτ' ἢ δῶρον ἄλλων; Ξο. δῶρον, ὄντα δ' ἐξ ἐμοῦ.
Ιων πρῶτα δῆτ' ἐμοὶ ξυνάπτειϲ πόδα ϲόν; Ξο. οὐκ ἄλλωι, τέκνον.
Ιων ἡ τύχη πόθεν ποθ' ἥκει; Ξο. δύο μίαν θαυμάζομεν.
Ιων ἐκ τίνοϲ δέ ϲοι πέφυκα μητρόϲ; Ξο. οὐκ ἔχω φράϲαι.
Ιων οὐδὲ Φοῖβοϲ εἶπε; Ξο. τερφθεὶϲ τοῦτο, κεῖν' οὐκ ἠρόμην.
Ιων γῆϲ ἄρ' ἐκπέφυκα μητρόϲ; Ξο. οὐ πέδον τίκτει τέκνα.
Ιων πῶϲ ἂν οὖν εἴην ϲόϲ; Ξο. οὐκ οἶδ', ἀναφέρω δ' ἐϲ τὸν θεόν.
Ιων φέρε λόγων ἀψώμεθ' ἄλλων. Ξο. τοῦτ' ἄμεινον, ὦ τέκνον.
Ιων ἦλθεϲ ἐϲ νόθον τι λέκτρον; Ξο. μωρίαι γε τοῦ νέου.
Ιων πρὶν κόρην λαβεῖν Ἐρεχθέωϲ; Ξο. οὐ γὰρ ὕϲτερόν γέ πω.
Ιων ἆρα δῆτ' ἐκεῖ μ' ἔφυϲαϲ; Ξο. τῶι χρόνωι γε ϲυντρέχει.
Ιων κᾆιτα πῶϲ ἀφικόμεϲθα δεῦρο Ξο. τοῦτ' ἀμηχανῶ.
Ιων διὰ μακρᾶϲ ἐλθὼν κελεύθου; Ξο. τοῦτο κἄμ' ἀπαιολᾶι.
Ιων Πυθίαν δ' ἦλθεϲ πέτραν πρίν; Ξο. ἐϲ φανάϲ γε Βακχίου.